www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

# ΑΡΤΕΜΙΟΝ,

ΠΡΟΣΤΑΤΗΝ ΤΟΥ ΣΩΜΑΤΟΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΑΣΤΥΝΟΜΙΑΣ

(Οὗ ἡ μνήμη τῇ 20ῇ Ὀκτωβρίου)

Συντεθεὶς ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵ββ' * 2002 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΑΡΤΕΜΙΟΝ, ΠΡΟΣΤΑΤΗΝ ΤΟΥ ΣΩΜΑΤΟΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΑΣΤΥΝΟΜΙΑΣ

* * *

*Μετὰ τὸ Εὐλογητός, ἀναγινώσκομεν τὸν ψαλμὸν ΡΚΒ' (142).*

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετα τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου, καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.

Εὐθὺς δέ, *Θεὸς Κύριος...καὶ τὸ τροπάριον*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Διακονῶν τῇ εὐνομίᾳ τρισμάκαρ,
ὑπὸ ἀνόμων μαρτυρίοις ἐῤῥίφθης,
καὶ τούτων καθυπέμεινας τοὺς πόνους καρτερῶς,
ὅθεν ἀνεκήρυξας τὴν θεότητα Λόγου,
καὶ τῷ ξίφει εἴληφας,
ἀθλοφόρων τὸ στέφος·
διὸ Ἀρτέμιε μνημόνευε ἀεί,
τῶν σὲ τιμώντων,
ἐκ πόθου καὶ πίστεως.

*Δόξα. Ὅμοιον.*

Ἑλληνικῆς Ἀστυνομίας προστάτης,
Μεγαλομάρτυς τοῦ Χριστοῦ ἀνεδείχθης,
ἣν πάντοτε περίσῳζε κακίας τοῦ ἐχθροῦ,
ἅπασι δωρούμενος,
αἰτημάτων τὴν λύσιν,
σοὶ ἀεὶ προσφεύγουσι,
γυναιξί τε ἀνδράσιν,
εἰς καθηκόντων πλήρωσιν καλῶς,
καὶ εὐνομίαν,
τῆς Χώρας, Ἀρτέμιε.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ψάλλεται ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:**

*" Φυλάττοις, ὦ Ἀρτέμιε, Ἀστυνομίας Σῶμα. Ἀ(θανάσιος)".*

*Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.*

Φωτὶ ἐλλαμπόμενος θεϊκῷ,
Ἀρτέμιε μάρτυς,
καθικέτευε τὸν Χριστόν,
φυλάττειν ἀεὶ διακονοῦντας,
Ἀστυνομίας τῷ Σώματι, Ἅγιε.

Ὑφάπλωσον σκέπην σου κραταιάν,
τοῖς προσπίπτουσί σοι,
Ἀστυνόμοις, Μάρτυς κλεινέ,
καὶ σκέπε αὐτοὺς ἀπὸ κινδύνων,
καὶ χαλεπῶν περιστάσεων πάντοτε.

Λιμὴν ἐχαρίσθης εἰρηνικός,
Ἀρτέμιε ἔνθα,
καταφεύγοντες ἀσφαλῶς,
αἰτούμεθα θείαν σου πρεσβείαν,
καὶ τῶν ψυχῶν τὴν γαλήνην εὑρίσκομεν.
*Θεοτοκίον*

Ἀγκάλαις κρατοῦσα τὸν Ἰησοῦν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πανάχραντε Μῆτερ,
καθικέτευε ἐκτενῶς,
ὑγείαν παρέχειν καὶ εἰρήνην,
᾿Αστυνομίας τῷ Σώματι Δέσποινα.

*᾿Ωιδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Τῶν εἰδώλων λατρείαν,
πανευθαρσῶς ἤλεγξας,
καὶ τὴν ἐνανθρώπησιν Λόγου,
τρανῶς ἐκήρυξας,
διὸ ᾿Αρτέμιε,
ξίφει τμηθεὶς παῤῥησίαν,
ἔχεις ἱκεσίαις σου πρὸς τὸν Φιλάνθρωπον.

Τροπαιοῦχος ἐδείχθης,
πνευματικοῖς σκάμμασι,
αἵμασι λουσθείς σου ἁγίοις,
μάρτυς ᾿Αρτέμιε,
ὅθεν τὰ τρόπαια,
δίδου τοῖς σὴν ἐξαιτοῦσι,
σκέπην καὶ βοήθειαν,
ἐν βίου θλίψεσι.

Οὐρανίας εἰρήνης,
σὺ γεγονὼς μέτοχος,
δίδου ᾿Αστυνόμοις ὡς δῶρον,
ταύτην ᾿Αρτέμιε,
ἐπευλογῶν θερμῶς,
τὸν ᾿Αρχηγόν τε καὶ πάντας,
ὡς προστάτης Σώματος,
καὶ πρέσβυς ἔνθερμος.

*Θεοτοκίον*

᾿Ιατρεύεις Παρθένε,
τὰ ψυχικὰ τραύματα,

καὶ τοῖς ἀσθενοῦσιν παρέχεις,
ὑγείαν ἄσειστον·
ὅθεν δεόμεθα,
ἡμᾶς ἀεὶ διατήρει,
πάντας ὑγιαίνοντας,
ψυχῇ καὶ σώματι.

Διάσωσον,
τοὺς σὲ τιμῶντας Ἀρτέμιε ἀθλοφόρε,
ἀπὸ πάσης ἀνάγκης καὶ περιστάσεως,
καὶ δὸς πορεύεσθαι ἀεί,
ἐν εἰρήνῃ ἀσείστῳ.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Πρεσβείαν θερμήν,
προσάγαγε Ἀρτέμιε,
Χριστῷ τῷ Θεῷ,
καὶ εὔχου τούτῳ πάντοτε,
ὅπως χάριν παρέχῃ τὴν ἄφθονον,
Ἀστυνομίᾳ ἧς θερμός,
προστάτης ὑπάρχεις, Μάρτυς ἔνδοξε.

*Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.*

Σῶμα φύλαττε Ἅγιε,
τῆς Ἀστυνομίας ἀδιαλώβητον,
καὶ ἐκπλήρου τὰ αἰτήματα,
τῶν διακονούντων τούτῳ τάχιστα.

Ὡς στεῤῥὸν τεῖχος φάνηθι,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


τοῖς προστρέχουσί σοι μάρτυς Ἀρτέμιε,
ἀποκρούων πολεμήτορος,
πάσας ἐπιθέσεις καὶ τὰ σκάνδαλα.

Ἀστυνόμων ἀσφάλεια,
ἐν τῇ ἐκπληρώσει σεπτοῦ καθήκοντος,
στῆθι πάντοτε Ἀρτέμιε,
καὶ γενοῦ ἀσπὶς αὐτῶν ἀήττητος.

*Θεοτοκίον*

Ῥῦσαι πάσης κακώσεως,
τοὺς ἀσπαζομένους σεπτὴν εἰκόνα σου,
Παναγία παναμώμητε,
καὶ τὸν βίον τούτων καταγλύκανον.

*Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.*

Τήρησον ἡμᾶς,
ὦ Ἀρτέμιε ἀπήμονας,
ἐκ τῶν κινδύνων καὶ τῶν θλίψεων,
ὅπως τιμῶμεν,
τὴν σεπτήν σου μνήμην πάντοτε.

Ἔχοιμεν ἀεί,
σὴν βοήθειαν ἰσόβιον,
ἐν τῇ ἀσκήσει τοῦ καθήκοντος ἡμῶν,
Μάρτυς θεῖε,
γενναιότατε Ἀρτέμιε,

Μάκρυνον ἡμῶν,
ἀντιπάλου μηχανήματα,
καὶ καταξίωσον βιοῦν εἰρηνικῶς,
τοὺς πλουτοῦντας,
προστασίαν σου, Ἀρτέμιε.

*Θεοτοκίον*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἴθυνον Ἁγνή,
διαβήματα τῶν δούλων σου,
πρὸς ἐργασίαν σωτηρίων ἐντολῶν,
καὶ ἀξίους,
Παραδείσου δεῖξον ἅπαντας.

*Ὠιδὴ στʹ. Τὴν δέησιν ἐκχεῶ.*

Ἐνίκησας,
Παραβάτου ἄνοιαν,
καὶ κατῄσχυνας εἰδώλων λατρείαν,
ὅθεν ἡμᾶς,
νικητὰς δεῖξον Μάρτυς,
ψυχῆς παθῶν ἐκλυόντων τὴν δύναμιν,
προσφέρειν τε τῷ Ἰησοῦ,
λογικὴν καὶ εὐώδη προσκύνησιν.

Ἀρτέμιε,
ταῖς πικραῖς βασάνοις σου,
κατεστέφθης ἐκ Κυρίου δικαίως,
καὶ πειρασθείς,
ταῖς φρικταῖς ἀλγηδόσι,
νῦν ἐντρυφᾷς τῶν καρπῶν τῆς θεώσεως,
παρέχων θείαν ἀρωγήν,
θλιβομένοις καὶ πάσχουσι δούλοις σου.

Συνέσεως,
ἐμπλησθεὶς Ἀρτέμιε,
ἀπεστόμωσας εἰδώλων τοὺς λάτρας,
δεικνὺς σαφῶς,
διακρίσεως τύπον,
καὶ εὐγενοῦς πολιτείας τὴν ἄσκησιν,
ἡμῖν ποθεῖν εἰλικρινῶς,
ἐν Χριστῷ πολιτεύεσθαι πάντοτε.

*Θεοτοκίον*

Ταπείνωσιν,
ἐνδυθεῖσα Πάναγνε,
ἠξιώθης τῆς γεννήσεως Λόγου,
Ὃς ἀγαπᾷ,
ταπεινῶν ἐν καρδίαις,
ὡς ἐπὶ θρόνου ἀεὶ ἀναπαύεσθαι·
διὸ ταπείνωσιν ἡμῖν,
δός, Παρθένε, ἐν λόγοις καὶ πράξεσι.

Διάσωσον,
τοὺς σὲ τιμῶντας Ἀρτέμιε ἀθλοφόρε,
ἀπὸ πάσης ἀνάγκης καὶ περιστάσεως,
καὶ δὸς πορεύεσθαι ἀεί,
ἐν εἰρήνῃ ἀσείστῳ.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.*

Ὡς πλουτῶν παῤῥησίας τὸ χάρισμα,
πρὸς Χριστὸν στεφηφόρε, Ἀρτέμιε,
μὴ παρίδῃς,
προσαγομένας τῶν πιστῶν εὐχάς,
ἀλλά,
πλήρου ταύτας δαψιλῶς,
καὶ σωτηρίαν ψυχικήν,
τοῖς αἰτοῦσί σε χάρισαι.
Σῶμα δ᾿ Ἀστυνομίας,
οὗπερ προστάτης πέλεις,
φύλαττε Μάρτυς ἀσινές,
ἐκ σκανδάλων καὶ θλίψεων.

Προκείμενον· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Στίχος· *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

## ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Λουκᾶν (κα΄ 12 - 19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. Ἐπιβαλοῦσι γὰρ ἐφ᾿ ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι. Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ φίλων καὶ θανατώσουσιν ἐξ ὑμῶν καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα.*

Θείου Ἀρτεμίου,
πρεσβείαις, Ἐλεῆμον,
Ἀστυνομίας Σῶμα,
παντὸς κακοῦ φυλάττοις.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου,
πρεσβείας, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

*καὶ τὸ προσόμοιον.*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



Τὴν ζωήν σου ἅπασαν,
ἀνατιθεὶς τῷ Κυρίῳ,
τοῖς Αὐτοῦ ἐντάλμασι,
ταύτην συνεμόρφωσας,
ὦ ᾿Αρτέμιε.

Γεγονὼς ἄγαλμα,
πᾶσι τοῖς ὁρῶσιν,
ἐγγλυφὲν ῾Αγίῳ Πνεύματι,
ὅθεν μετέσχηκας,
καὶ τοῦ μαρτυρίου μακάριε.

῾Ως ἔχων παῤῥησίαν δέ,
τῶν διακονούντων τῷ Σώματι,
τῆς ᾿Αστυνομίας,
ἐπάκουσον δεήσεων φωνάς,
καὶ τὰ αἰτήματα πλήρωσον,
ὅπως σε δοξάζωμεν.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.*

*᾿Ωιδὴ ζ'. Οἱ ἐκ τῆς ᾿Ιουδαίας.*

Τηρήσας ἐν ζωῇ σου,
δημοσίαν τάξιν,
τοὺς ἐν νυκτὶ καὶ ἡμέρᾳ μνημόνευε,
διακονεῖν εὐνόμως,
ποικίλων τε κινδύνων,
διαφύλαττε πάντοτε,
ὅπως τιμῶμεν ἀεί,
᾿Αρτέμιε σὴν μνήμην.

῾Υπὲρ τῆς εὐσεβείας,
μάκαρ ἐναθλήσας,
τοὺς σὲ τιμῶντας ἀξίωσον πάντοτε,
ἐμμένειν ἐν τῇ πίστει,
φυλάττειν τε τὸν νόμον,

καὶ Κυρίου τὸ θέλημα,
ἵνα ζωῆς ἀληθοῦς,
μετάσχωσιν ἀλήκτως.

Νικήσας ἀοράτους,
τοῦ ἐχθροῦ δυνάμεις,
καὶ πολεμίων παθῶν ἐπεκράτησας,
διὸ Μάρτυς Κυρίου,
παθῶν τῶν ἐνοχλούντων,
καὶ ἡμᾶς ἐλευθέρωσον,
σαῖς πρὸς Δεσπότην εὐχαῖς,
καὶ θείαις ἱκεσίαις.

*Θεοτοκίον*

῾Ο Κτίστης τῶν ἁπάντων,
ἐκ τῶν σῶν αἱμάτων,
ὑπερφυῶς ἐνηνθρώπησεν ῎Αχραντε,
καὶ δέδωκέ σε κόσμῳ,
ἐν τοῖς κινδύνοις πρέσβιν,
ἀσφαλές τε προσφύγιον,
ὅθεν τοὺς σὲ εὐλαβῶς,
τιμῶντας σκέπε Μῆτερ.

*᾿Ωιδὴ η'. Τὸν Βασιλέα.*

Μοίρας ἀξίου,
τῆς δεξιᾶς τοῦ Δεσπότου,
τοὺς ἐν πίστει σε, ᾿Αρτέμιε, τιμῶντας,
μώμου ἀπαλλάττων,
καὶ ψυχικῶν κηλίδων.

῎Ιθυνον, Μάρτυς,
πρὸς τὰς ὁδοὺς τὰς εὐθείας,
διαβήματα τῶν σὲ ἐξαιτουμένων,
ὅπως Βασιλείας,
μετάσχωσι Κυρίου.

Ἆιρον τὰ βάρη,
ἀσθενειῶν ἐκ σῶν δούλων,
ὦ Ἀρτέμιε, ὡς χάριν ἔχων πλείστην,
καὶ ὑγείαν δίδου,
ἄσειστον ταῖς εὐχαῖς σου.

*Θεοτοκίον*

Σκέπασον Μῆτερ,
τῇ παναγίᾳ σου σκέπη,
τοὺς τιμῶντάς σε ὡς τέξασαν τὸν Κτίστην,
ὅπως σου τὴν δόξαν,
ἐκ πόθου ἀνυμνῶσιν.

*Ὠιδὴ θ'. Κυρίως Θεοτόκον.*

Σῶμα Ἀστυνομίας,
ἔχον σε προστάτην,
διαφυλάττοις, Ἀρτέμιε, πάντοτε,
ἐκ πειρασμῶν καὶ κινδύνων,
ἀδιαλώβητον.

Ὡς ἔχων παῤῥησίαν,
εὔχου, θεῖε Μάρτυς,
ὑπὲρ τιμώντων τὴν θείαν σου ἄθλησιν,
καὶ πανοικεὶ κατευλόγει,
τούτους πρεσβείαις σου.

Μήποτε ἐπιλάθου,
τῶν διακονούντων,
Ἀστυνομίας τῷ Σώματι Ἅγιε,
παρέχων τούτοις εἰρήνην,
καὶ θεῖον ἔλεος.

*Θεοτοκίον*

Ἀστυνομίας Σῶμα,
φύλαττε, Παρθένε,
σὺν Ἀρτεμίῳ Χριστὸν ἱλεούμενοι,
ὅπως δῷ τούτῳ πλουσίως,
χάριν οὐράνιον.

*Ἄξιόν ἐστι... καὶ τὰ*

*Μεγαλυνάρια*

Ἔρωτι τῷ θείῳ πυρποληθείς,
δέδωκας ζωήν σου,
ὑπὲρ πίστεως τοῦ Χριστοῦ,
Ὃν ἀεὶ δυσώπει,
Ἀρτέμιε τρισμάκαρ,
ὑπὲρ τῶν σὲ ἐχόντων,
προστάτην ἄμαχον.

Ὡς διακονήσας θεοπρεπῶς,
Μάρτυς, εὐνομίᾳ,
πρέσβυς φάνηθι πρὸς Θεόν,
γυναικῶν ἀνδρῶν τε,
καλῶς ὑπηρετούντων,
Ἀστυνομίας ἔργῳ,
θεῖε Ἀρτέμιε.

Τῆς Ἀστυνομίας σκέπε ἀεί,
Ἀρτέμιε, Σῶμα,
ἐν εἰρήνῃ διηνεκεῖ,
πρὸς διακονίαν,
πάντων τῶν δεομένων,
εἰς δόξαν τοῦ Κυρίου,
δι᾽ Ὃν καὶ ἤθλησας.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,

www.tezaurliturgic.ro



οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον κλπ.*

*Ἀπολυτίκιον.Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Μαρτυρίου τὸ στέφος εἰληφὼς γενναιότατε,
τῆς Ἀστυνομίας τὸ Σῶμα,
ἀεὶ φρούρει, Ἀρτέμιε·
τοὺς δὲ ἐργαζομένους ἐν αὐτῷ,
εὐλόγει ταῖς ἁγίαις σου εὐχαῖς,
ἐν εἰρήνῃ τοῖς ἀνθρώποις διακονεῖν,
καὶ ψάλλειν σοι μακάριε·
δόξα τῷ σὲ δοξάσαντι Χριστῷ,
δόξα τῷ σὲ μεγαλύναντι,
δόξα τῷ δεδωκότι σε ἡμῖν,
ὑπέρμαχον ἀήττητον.

*Εἰς τὴν ἀπόλυσιν. Στιχηρὸν προσόμοιον.*

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Τήρησον, Ἀρτέμιε κλεινέ,
τῆς Ἀστυνομίας τὸ Σῶμα,
ἐκ πάσης θλίψεως,
καὶ εἰρήνην ἄσειστον, εὐχαῖς σου χάρισαι·
Ἀρχηγόν, ἄνδρας, θήλεις τε,
φυλάττων εὐχαῖς σου,
ἀσφαλεῖς ἐκ θλίψεων, καὶ ἐκ κινδύνων πολλῶν·
ὅπως ὡς ἐργάται εἰρήνης, τὸ καθῆκον πάντες πληρῶσι,
καὶ σὲ ὡς Προστάτην μεγαλύνωσι.

Δέσποινα πρόσδεξαι,
τὰς δεήσεις τῶν δούλων σου,

www.tezaurliturgic.ro



καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δι᾽ εὐχῶν.

*Στίχοι*

*Τῆς Ἑλληνικῆς Ἀστυνομίας σκέπε,*
*Τὸ ἔντιμον Σῶμα, Ἀρτέμιε μάρτυς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ